καὶ ὄγκος τις καὶ σὰρξ γίνεται. ποτὲ δὲ, διὰ τὸ A μήπω ἔχειν τὴν φύσιν, ἀλλ' ἢ τοσοῦτον μόνον τῆς φύσεως, ὅτι οὕτω διάκειται ὥστε γενέσθαι ἐξ αὐτοῦ τοιοῦτον οἷοι ἡμεῖς· ἐκ δὲ διεφθαρμένου, οὐδὲν τοιοῦτον. διὰ ταῦτα οὐδὲ ἐξ ἑτέρου τῶν ἐν ἡμῖν, οὐδὲ ἐκ τούτου διεφθαρμένου ἢ ἀτελῶς ἔχοντος, τὸ ἔκγονόν ἐστιν ἡμέτερον. ιε Διὰ τί ἐν τῷ ὕδατι ἧττον δύνανται ἀφροδισιάζειν οἱ ἄνθρωποι; ἢ ὅτι ἐν B ὕδατι οὐθὲν τήκεται, ὅσα ὑπὸ πυρὸς τήκεται; οἷον μόλιβδος, ἢ κηρός· ἡ δὲ γονὴ τηκομένη φαίνεται πυρί· πρὶν μὲν γὰρ ἢ τρίψις ἐκθερμάνῃ, οὐ τήκεται· οἱ δὲ ἰχθύες οὐ τρίψει ὀχεύουσι. ις Διὰ τί τὸ ἀφροδισιάζειν ἥδιστον, καὶ πότερον ἐξ ἀνάγκης, ἢ ἕνεκά τινος ὑπάρχει τοῖς ζώοις; ἢ ἡδὺ μέν ἐστιν, ἤτοι διὰ τὸ ἀπὸ παντὸς τοῦ σώματος ἀπιέναι τὸ σπέρμα, ὥσπερ τινές φασιν; ἢ καὶ ἀπὸ παντὸς μὲν μὴ C ἀπιέναι, διὰ δὲ τοιούτου, εἰς ὃ πάντες συμβαίνουσιν οἱ πόροι τῶν φλεβῶν; οὔσης οὖν τῆς ἡδονῆς ὁμοίας τῆς ἐν τῷ κνησμῷ, τοῦτο συμβαίνει γίνεσθαι, ὥσπερ δι' ὅλου τοῦ σώματος. ὁ δὲ κνησμὸς ἡδύς ἐστιν, ὑγροῦ ἔξοδος πνευματώδους ἐγκατακεκλεισμένου παρὰ φύσιν. ἡ δὲ γονὴ, τοιοῦτον εἰς τὸ κατὰ φύσιν ἔξοδος. ἔστι δὲ καὶ ἐξ ἀνάγκης ἡδὺ, καὶ ἕνεκά τινος. ἐξ ἀνάγκης μὲν, ὅτι ἡ εἰς τὸ κατὰ φύσιν D ὁδὸς ἡδύ ἐστιν, ἐὰν ᾖ αἰσθητή. ἕνεκα δέ τινος, ἵνα γένεσις ᾖ ζώων. διὰ γὰρ τὴν ἡδονὴν, μᾶλλον ὁρμᾷ πρὸς τὴν μίξιν τὰ ζῶα. ιζ Διὰ τί ἡ λαγνεία πρὸς νοσήματα ἔνια τῶν ἀπὸ φλέγματος συμφέρει; ἢ ὅτι περιττώματός [τινός] ἐστιν ἔξοδος· ὥστε συνεκκρίνεται πολλὴ περίττωσις; τὸ δὲ φλέγμα, περίττωμα. ιη Διὰ τί τὰ ἀφροδίσια τὴν κοιλίαν ψύχει καὶ ξη- E ραίνει; ἢ ψύχει μὲν, ὅτι ἐκκρίνεται τὸ θερμὸν ἐν τῇ μίξει; ξηραίνει δὲ καὶ ἡ μίξις. ἐξατμίζεται γὰρ, τοῦ θερμοῦ ἐξιόντος· ἐξέρχεται δὲ ψυχομένου. ἔτι καὶ ἡ θερμότης ἐν τῇ ὁμιλίᾳ ξηραίνει. ιθ Διὰ τί ὅσοις αἱ βλεφαρίδες ῥέουσι, λάγνοι; ἢ διὰ τὸ αὐτὸ, καὶ διότι οἱ φαλακροί; ἔστι γὰρ μόρια ἄμφω ταῦτα τοῦ αὐτοῦ. ἔστι δὲ τὸ αἴτιον· ὁπόσαι πρεσβυτέρου γινομένου, μὴ αὐξάνονται τῶν συγγενικῶν F τριχῶν, ἅπασαι τοῦτο πάσχουσιν ἐν ταῖς λαγνείαις.

& corpulentia quædam, & caro consistunt, quorũ nihil nobile est, quoniam nondum naturam obtinẽt destinatam: sed eatenus naturam attingunt, quatenus ita se habeant, vt ex illis tale creari possit, quale nos sumus, modo seruentur. Corruptis autem nihil tale enasci potest. Causa est hæc, cur nec alia ex re nostri corporis, nec ex semine ipso corrupto, aut imperfecto, prolem nostram oriri arbitremur.

15 Cur minus in aqua homines concumbere queunt? An quòd res nulla in aqua liquescere potest, quæ ab igne liquefieri apta est, ceu plumbum aut cera. Semen autem hominis igne planè liquescere videmus: haud enim prius fluere incipit, quàm per attritum recaleat. Pisces tamẽ sine attritu coire fatẽdũ est. 16 Qua de causa res omnium suauissima concubitus est: & vtrum necessitate impellantur ad concumbendum animantes, an rei cuiuspiam gratia genus hoc libidinis datum est? An suauissimè quidem concumbimus, quoniam aut toto ex corpore semen profluit, vt aliqui volunt: aut quia, quanuis non toto ex corpore, tamen per eam partem se promit, in quam meatus omnes, venæque omnes applicentur, & coeant. Cùm igitur voluptas similis in libidine, atque in prurigine fit, efficitur pariter, vt corpus gestiat vniuersum. Prurigo enim secessio humoris spirituosi inclusi contra naturam est: & genituram verò secessionem humoris eiusmodi esse ad rem naturalem constat: suauis autem tum ex necessitate, tum rei cuiuspiam gratia concubitus est. Ex necessitate, inquam, quòd via omnis pertinens ad rem naturalem suauis est, si modò à sensu percipi queat. Rei verò cuiuspiam gratia est, vt ortus sit animantium perpetuus: facit enim voluptas, vt animantes ad coitum ardentius excitentur. 17 Cur venus immodica morbis pituitæ nonnullis accommoda est? An quoniam excrementi quidam exitus est, ità vt multum vacãtis materiæ cum semine detrahi possit: pituitam autem excrementum esse, nulli dubium est. 18 Cur res venerea ventrem refrigerat, & siccat? An refrigerat, quoniam calor in concumbendo excernitur, & siccare quidem coitus venereus potest, quippe cùm euaporari, dum calor exit, necesse sit: exit autem cùm refrigeratur. Adde etiam, quòd feruor coeundi siccare nimirum potest. 19 Cur salaces hi sunt, quibus pili palpebrarum defluunt? An ob id ipsum quo etiam calui: sunt enim hæc ambo partes rei eiusdem. Quicunque autem ex pilis congenitis ætate iam prouecta non crescunt, hi omnes decidunt libidinis vsu immoderato.